## Fragmenta quaedam 'biographica'

### Fr. 14 Gent.-Pr. (*VS* 21 B 10)

Hdn. *GG* II 16,20 L. (*An. Ox.* III 295,5 Cr.) οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις (*scil.* τοῖς ἑστήκασι, κτλ.) συστολὰς ποιοῦνται, ὡς παρὰ Ξενοφάνει·

ἐξ ἀρχῆς καθ᾽ Ὅμηρον, ἐπεὶ μεμαθήκασι πάντες ...

‖ Cf. Choerob. in Theodos. *GG* IV/2 88,27 (et 'Drac. Strat.' *Metr.* p. 33 Herm.), necnon Schwyzer, *GG* I 664s. ‖ τοὺς θεοὺς κακίστους εἶναι sententiam continuare susp. Diels.

### Fr. 15 Gent.-Pr. (*VS* 21 B 15)

Sext. Emp. *Math.* IX 193 ἔνθεν καὶ ὁ Ξενοφάνης διελέγχων τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδόν φησι·

πάντα θεοῖσ᾽ ἀνέθηκαν Ὅμηρός θ᾽ Ἡσίοδός τε,
ὅσσα παρ᾽ ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

### Fr. 16 Gent.-Pr. (*VS* 21 B 12)

Sext. Emp. *Math.* I 289 Ὅμηρος δὲ καὶ Ἡσίοδος κατὰ τὸν Κολοφώνιον Ξενοφάνη

ὡς πλεῖστ᾽ ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

‖ **1** ὡς Fabricius : ὃς codd. : οἳ Stephanus : καὶ Karsten : ὧς Wachsmuth | ἐφθέγξαντο Fabricius : -ατο codd.

### Fr. 43 Gent.-Pr. (*VS* 21 B 19)

Diog. Laert. I 23 δοκεῖ δὲ κατά τινας πρῶτος (*scil.* ὁ Θαλῆς) ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος ἐν τῇ Περὶ τῶν ἀστρολογουμένων ἱστορίᾳ (fr. 144 Wehrli)· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος (I 74,2) θαυμάζει.

### Fr. 6 Gent.-Pr. (*VS* 21 B 7)

Diog. Laert. VIII 36s. (I) περὶ δὲ τοῦ ἄλλοτ᾽ ἄλλον αὐτὸν (*scil.* Πυθαγόραν) γεγενῆσθαι Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή·

νῦν αὖτ᾽ ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.

ὃ δὲ περὶ αὐτοῦ (*scil.* Πυθαγόρου) φησιν οὕτως ἔχει (*AP* VII 120 [II]; cf. Plan. I$^{b}$ 45,4 [III], *Suda* ξ 46 A. [IV]; **[2-4]** *Suda* σ 1264 A. [V], cf. Hesych. σ 2098 H.)·

καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
  φασὶν ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος·
"παῦσαι μηδὲ ῥάπιζ᾽, ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶ
  ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων."

καὶ ταῦτα μὲν ὁ Ξενοφάνης.

‖ **1** νῦν αὖτ' Stephanus : ν. οὖν τ' codd. | ad κέλευθος translate adhibitum vd. Parm. *VS* 28 B 6,7, Emp. *VS* 31 B 115,8 ‖ **2** καί ποτέ I, II, IV : δὴ τότε III | μιν testt. pll. : μὴν I(**BF**) | παριόντα testt. pll. : -οντος I(**B**) IV(**G**) ‖ **3** φασὶν testt. pll. : φασί γ' I(codd. pll.) IV : φασί γ' οὖν I(**F**) : φησὶν V(**V**) | ἐποικτῖραι Fick : -εῖραι testt. ‖ **3s. ἐποικτ.–φίλου** om. I(**B**) ‖ **4** ῥάπιζ' testt. pll. : ῥαπίζειν V(**GM**) | ἐπεὶ ἦ Bergk (cf. Denniston, *GP*$^2$ 286) : ἐπεὶ ἡ vel ἐπειὴ (vel -ῆ) testt. ‖ **5** τὴν testt. : τὴν δ' dub. West : τῆς Karsten | ἔγνων testt. pll. : -ως I(**F**) | φθεγξαμένης testt. pll. : -ην IV(**GVM**) : -οιο Bergk | ad ψυχῆς notionem novam vd. Snell, *Entd.* 36 n. 1 | φθέγγ. hic primum de animalium voce dictum.

## Fr. 44 Gent.-Pr. (*VS* 21 B 20)

Diog. Laert. I 111 καὶ ἐπανελθὼν (*scil.* Ἐπιμενίδης) ἐπ' οἴκου μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φλέγων ἐν τῷ Περὶ μακροβίων (*FGrHist* 257 F 38), βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν· ὡς δὲ Κρῆτες λέγουσιν (*FGrHist* 468 F 13), ἑνὸς δέοντα τριακόσια· ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησί, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν.

## Fr. 7 Gent.-Pr. (*VS* 21 B 8)

Diog. Laert. IX 18s. (I) μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν·

ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

Cf. Apostol. VIII 42r (*CPG* II 442,15) (II). ‖ Vd. fr. 41 Gent.-Pr. ‖ **2** βληστρίζοντες ἐμὴν I : -ζοντ' ὑμὴν II | ad βληστρ. vd. Hp. *Morb.* III 7 ἀλλ' ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι | fort. ἐμὴν φροντίδα pro ἐμὲ dicit poeta (an pro philosophia sua?) ‖ **3** τότε ad Medorum irruptionem fort. refertur (a. 545 vel 540: cf. Hdt. I 162), vd. fr. 13,5 Gent.-Pr.

## Fr. 41 Gent.-Pr. (*VS* 21 B 45)

*schol.* Hp. *Epid.* I 13,3 (= Erotian. fr. 14 Nachm.) βληστρισμός· ῥιπτασμός. οὕτω Βακχεῖος τίθησιν. ἐν ἐνίοις δὲ ἀντιγράφοις εὕρομεν βλητρισμὸν χωρὶς τοῦ σ. ὄντως δὲ τὸν ῥιπτασμὸν σημαίνει, καθὼς καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν· "†ἐγὼ δ' ἐμαυτὸν πόλιν ἐκ πόλεως φέρων ἐβλήστριζον", ἀντὶ τοῦ ἐρριπταζόμην.

‖ ἐγὼ δ' ἐμαυτὸν ἐκ πόλεος πόλιν φέρων in trimetros redegit Bergk.

## Fr. 13 Gent-Pr. (*VS* 21 B 22)

Ath. (epit.) II 54e (I) Ξενοφάνης ὁ Κολοφώνιος ἐν παρῳδίαις (Menagius : παρῴδαις codd.)·

πὰρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ
ἐν κλίνῃ μαλακῇ κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ' ἐρεβίνθους·
"τίς πόθεν εἶς ἀνδρῶν; πόσα τοι ἔτε' ἐστί, φέριστε;
πηλίκος ἦσθ', ὅθ' ὁ Μῆδος ἀφίκετο;"

Cf. Eust. *Il.* 948,20 (II) ἐρεβίνθων δὲ μνεία καὶ παρὰ Ξενοφάνει ὡς χρηστῶν ὄντων ἐν συμποσίῳ. φησὶ γὰρ "πίνοντα–ἐρεβίνθους" (v. 3). ‖ de παρῳδίαις idest Σίλλοις cf. Diog. Laert. IX 111 ‖ **2** ἐν κλίνῃ test. : κλίνῃ ἐνὶ Meineke ‖ **3** ὑποτρώγοντ' testt. : ἐπι- Koraës, Meineke ‖ **4** ἔτε' Diehl, alii : ἔτη test. ‖ **5** Μῆδος pro Harpago vel Medorum gente adhibitum.